UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

XXXIX. Quòd in Phoenice urbs facta est Constantina, & in aliis urbibus idola diruta & Ecclesiae exstructae.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

## ΛΕΦΑΛΑΙΟΝ ΛΘ΄.

Ὅτι ἐπὶ τῆς Φοινίκης ἐπολίσθη μέν τις, ἐν δὲ ταῖς ἄλλαις πόλεσιν, εἰδώλων μὲν ἦν καθαίρεσις, ἐκκλησιῶν δὲ κατασκευαί.

Ταὐτὸν δὲ καὶ ἕτεραι πλείους διεπράττοντο χῶραι. ὡς ἡ ἐπὶ τοῦ Φοινίκων ἔθνους, αὐτοῦ βασιλέως ἐπώνυμος· ἧς οἱ πολῖται δυσεξαρίθμητα ξοάνων ἱδρύματα πυρὶ παραδόντες, τὸν σωτήριον ἀντικατηλλάξαντο νόμον· καὶ ἐφ' ἑτέρων δ' ἐπαρχιῶν, αὐτόμολοι τῇ σωτηρίῳ προσιόντες γνώσει, ἀθρόοι κατὰ χώρας τε καὶ κατὰ πόλεις, τὰ μὲν πρότερα αὐτοῖς ἱερὰ νενομισμένα, ἐν ὕλῃ παντοίων ξοάνων ὄντα, ὡσανεὶ τὸ μηθὲν ὄντα, ἠφάνιζον. ναοὺς τ' αὐτῶν καὶ τεμένη εἰς ὕψος ἠρμένα, μηδενὸς ἐπικελεύοντος καθῄρουν· ἐκκλησίας δ' ἐκ θεμελίων ἀνιστῶντες, τῆς προτέρας ἀντικατηλλάσσοντο γνώμης, ἤτοι πλάνης. ἀλλὰ γὰρ καθ' ἕκαστα γράφειν τῶν τοῦ θεοφιλοῦς πράξεων, οὐχ ἡμέτερον ἂν εἴη μᾶλλον, ἢ τῶν τὸν πάντα χρόνον συνεῖναι αὐτῷ καταξιωμένων· ἡμεῖς δ' ἐν ὀλίγῳ τὰ ἡμῖν διεγνωσμένα τῇδε παραδόντες τῇ γραφῇ, ἐπὶ τὸν ὕστατον αὐτοῦ τῆς ζωῆς διαβησόμεθα χρόνον.

A

## Caput XXXIX.

*Quòd in Phœnice urbs facta eſt Conſtantina, & in aliis urbibus idola diruta & Eccleſiæ exſtructa.*

IDem quoque pluribus in locis factitatum. Verbi gratia in urbe quadam Phœnices, quæ Imperatoris nomine appellatur: cujus incolæ conjectis in ignem innumerabilibus ſimulacris, ſalutarem religionem amplexi ſunt. Sed & in reliquis provinciis, innumeri confertim ad ſalutarem Dei cognitionem ſeſe transferentes, per urbes & agros varia ſimulacra ex omnis generis materiâ fabrefacta, quæ prius pro ſacris ha-
B buerant, aboleverunt: templa eorum ac delubra in immenſam altitudinem ſublata, nullo jubente deſtruxerunt. Eccleſias verò à fundamentis ædificantes, priſtinam ſuam ſententiam aut potiùs errorem mutaverunt. Verùm Deo amabilis Imperatoris res geſtas ſingillatim commemorare, non tam noſtrum eſt, quàm illorum qui aſſiduè cum eo verſari meruerunt. Nos verò quando ea quæ ad noſtram notitiam pervenerant, in hoc opere breviter expoſuimus, ad extremum ejus vitæ tempus transgrediemur.

C

## ΚΕΦΑΛΑΙΟΝ Μ΄.

Ὅτι ἐν τρισὶ δεκαετηρίσι τρεῖς υἱοὺς βασιλέας ἀναγορεύσας, τὰ ἐγκαίνια τοῦ ἐν Ἱεροσολύμοις μαρτυρίου προὔθετο.

Ἐπληροῦντο μὲν αὐτῷ τριάκοντα ἐνιαυτῶν περίοδοι τῆς βασιλείας· (παῖδες δὲ τρεῖς) διαφόροις ἀνεδείκνυντο χρόνοις· ὁ μὲν ὁμώνυμος τῷ πατρὶ Κωνσταντῖνος, πρῶτος μεταχὼν τῆς τιμῆς ἀμφὶ τὴν τοῦ πατρὸς δεκαετηρίδα. ὁ δὲ δεύτερος τῇ τοῦ πάππου κοσμούμενος ὁμωνυμίᾳ Κωνστάντιος, ἀμφὶ τὴν εἰκοσαετηρικὴν πανήγυριν ἀναγορευόμενος. ὁ δὲ τρίτος Κώνστας, τὸν ἐνεστῶτα καὶ συνεστῶτα τῷ τῆς ἐπωνυμίας προσρήματι σημαίνων, ἀμφὶ τὴν τρίτην δεκάδα προηγμένος. οὕτω δὴ τριάδος λόγῳ τριττὴν γονὴν παίδων θεοφιλῆ κτησάμενος, ταύτην δ' ἐφ' ἑκάστῃ περιόδῳ δεκαέτους χρόνου, εἰσποιήσει τῆς βασιλείας τιμήσας, τῷ παμβασιλεῖ τῶν ὅλων εὐχαριστήριον καιρὸν εὔκαιρον εἶναι τὸν τῆς αὐτοῦ τριακονταετηρίδος ἡγεῖτο· τό τε δὴ τοῦ ἐν Ἱεροσολύμοις αὐτῷ σὺν πάσῃ φιλοκάλῳ σπουδῇ κατειργασμένου μαρτυρίου προσήκειν τὴν ἀφιέρωσιν ποιήσασθαι, εὖ ἔχειν ἐδοκίμαζε.

## Caput XL.

*Quòd cùm trinis decennalibus tres filios Cæſares creaviſſet, dedicationem Martyrii Hieroſolymis celebravit.*

ANnus jam Imperii illius triceſimus peragebatur. Tres autem ejus filii variis temporibus conſortes Imperii fuerant renuntiati. Primus qui patri erat cognominis, decimo circiter paterni Imperii anno, hunc honorem ſortitus. Secundus avi ſui nomen referens, circa parentis ſui vicennalia Cæſar eſt declaratus. Tertius Conſtans, qui præſentiam & ſtabilitatem ſuo nomine deſignat, tri-
D ceſimo circiter paterni Principatus anno ad hoc faſtigium eſt evectus. Ita cùm ad quandam Trinitatis ſimilitudinem tres filios Deo amabiles ſuſtuliſſet, eoſdemque ſingulis decenniis ad conſortium Imperii cooptaſſet, tempus deinceps tricennalium ſuorum opportuniſſimum eſſe exiſtimavit, quo ſummo omnium Regi gratias ageret. Et ipſe quidem optimum factu eſſe judicabat, ſi ejus Martyrii quod ſingulari ſtudio ac magnificentia Hieroſolymis conſtruxerat, dedicationem celebraret.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN